## 30 IUNIE

# SLUJBA SOBORULUI SF.12 APOSTOLI



## MINEIUL PE IUNIE-GR


ΟΙ ἍΓΙΟΙ ΙΒ΄
ἈΠΟϹΤΟΛΟΙ

# ΠΑΝΗΓΥΡΙΚΗ ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εις το Κύριε εκέκραξα ιστώμεν στίχους ς’, και ψάλλομεν τα παρόντα στιχηρά.

Ήχος β’.

Ποίοις ευφημιών στέμμασιν, αναδήσωμεν Πέτρον και Παύλον; Τους διηρημένους τοις σώμασι και ηνωμένους τω Πνεύματι, τους Θεοκηρύκων πρωτοστάτας˙ τον μεν, ως των Αποστόλων πρεξάρχοντα, τον δε, ως υπέρ τους άλλους κοπιάσαντα˙ τούτους γαρ όντως αξίως, αθανάτου δόξης, διαδήμασι στεφανοί, Χριστός ο Θεός ημών, ο έχων το μέγα έλεος.

Ποίοις υμνωδιών κάλλεσιν, ανυμνήσωμεν Πέτρον και Παύλον; Της θεογνωσίας τας πτέρυγας, τας διαπτάσας τα πέρατα, και προς ουρανόν

ανυψωθείσας˙ τας χείρας, Ευαγγελίου του της Χάριτος˙ τους πόδας, της αληθείας του κηρύγματος˙ τους ποταμούς της σοφίας, του Σταυρού τα κέρατα, δι' ών δαιμόνων οφρύν, Χριστός καταβέβληκεν, ο έχων το μέγα έλεος.

Ποίοις πνευματικοίς άσμασιν, επαινέσωμεν Πέτρον και Παύλον; Τα την αθεότητα σφάττοντα, και μη αμβλυνόμενα στόματα, της φρικτής του Πνεύματος μαχαίρας˙ τα Ρώμης, περιφανή εγκαλλωπίσματα˙ τα πάσης, της Οικουμένης εντρυφήματα˙ τας της καινής Διαθήκης, θεογράφους πλάκας, νοουμένας ας εν Σιών, Χριστός εξεφώνησεν, ο έχων το μέγα

Έτερα προσόμοια των Αγίων Δώδεκα Αποστόλων.

Ήχος δ'. Ως γενναίον εν Μάρτυσιν.

Ως αυτόπται και Μάρτυρες, της του Λόγου σαρκώσεως, Μαθηταί πανόλβιοι, μακαρίζεσθε˙ ώ Ιωάννη θεόσοφε, και θείε Ιάκωβε, η αυτάδελφος ζυγή, και Ανδρέα και Φίλιππε, οι Απόστολοι, του

Θεού και Σωτήρος ημών πάντων, ον μη παύσητε πρεσβεύειν, εν παρρησία τυγχάνοντες.

Ως βολίδες αστράπτουσαι, ταις ακτίσι του Πνεύματος, εις τον κόσμον άπαντα διεπέμφθητε˙ Βαρθολομαίε, Ιάκωβε και θείε Ιούδα τε και θεσπέσιε Θωμά συν Ματθαίω και Σίμωνι χριστοκήρυκες, οι αυτόπται Χριστού και υπηρέται, ον μη παύσητε πρεσβεύειν, υπέρ ημών αεισέβαστοι.

Αλιέων ο κάλαμος, φιλοσόφων το φρύαγμα, και ρητόρων φθέγματα, διετάραξε, θεοσοφίας διδάγματα χαράττων και δόγματα, και μυρίων αγαθών, τηλαυγώς εκτιθέμενος Ευαγγέλιον και τρυφής αϊδίου μετουσίαν, και Αγγέλων απολαύσεις, και διαμένουσαν εύκλειαν.

Δόξα. Ήχος πλ. β'.

Δεύτε άπαντα τα πέρατα της γης, την δωδεκάχορδον χορείαν των ενδόξων Αποστόλων, χρεωστικώς ευφημήσωμεν λέγοντες. Χαίροις Πέτρε Κορυφαίε, η πέτρα της πίστεως, και κλειδούχε της Βασιλείας του

Χριστού˙ Χαίροις Παύλε παγκόσμιε φωστήρ, κήρυξ και διδάσκαλε ως σκεύος εκλογής˙ Χαίροις Ιωάννη φίλε στερέμνιε Χριστού, και θεολόγε Ευαγγελιστά, χαίρετε Ανδρέα και Ιάκωβε, Θωμά Βαρθολομαίε και Ματθαίε ευαγγελιστά. Χαίρετε Φίλιππε Ιάκωβε, Ματθία, και μετά Σίμωνος Θαδδαίε, συν τοις λοιποίς Εβδομήκοντα Χριστού, Απόστολοι, ως μη παύσητε πρεσβεύειν αεί, υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον, ο αυτός.

Τίς μη μακαρίσει σε, Παναγία Παρθένε; Τίς μη ανυμνήσει σου τον αλόχευτον τόκον; Ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός Μονογενής, ο αυτός εκ σου της Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι’ ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, άλλ’ εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είτα η Είσοδος, το Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Πράξεων των Αποστόλων το ανάγνωσμα

(Α' 12-14)

Εν ταις ημέραις εκείναις, υπέστρεψαν οι Απόστολοι εις Ιερουσαλήμ, από όρους του καλουμένου ελαιώνος, ο έστιν εγγύς Ιερουσαλήμ, σαββάτου έχον οδόν˙ και ότε εισήλθον, ανέβησαν εις το υπερώον, ου ήσαν καταμένοντες, ο τε Πέτρος και Ιάκωβος και Ιωάννης και Ανδρέας, Φίλιππος και Θωμάς, Βαρθολομαίος και Ματθαίος, Ιάκωβος Αλφαίου, και Σίμων ο Ζηλωτής και Ιούδας Ιακώβου. Ούτοι πάντες ήσαν προσκαρτερούντες ομοθυμαδόν τη προσευχή και τη δεήσει, συν γυναιξί, και Μαρία τη μητρί του Ιησού και συν τοις αδελφοίς αυτού.

Πράξεων των Αποστόλων το Ανάγνωσμα

(Α' 15-17, 20-26).

Και εν ταις ημέραις εκείναις, αναστάς Πέτρος εν μέσω των Μαθητών είπεν˙ ήν τε όχλος ονομάτων επί

το αυτό ως εκατόν είκοσιν˙ Άνδρες αδελφοί, έδει πληρωθήναι την γραφήν ταύτην ήν προείπε το Πνεύμα το Άγιον δια στόματος Δαυΐδ περί Ιούδα του γενομένου οδηγού τοις συλλαβούσι τον Ιησούν, ότι κατηριθμημένος ην συν ημίν και έλαχε τον κλήρον της διακονίας ταύτης. Γέγραπται γαρ εν βίβλω ψαλμών˙ γενηθήτω η έπαυλις αυτού έρημος και μη έστω ο κατοικών εν αυτή˙ και˙ την επισκοπήν αυτού λάβοι έτερος. Δει ουν των συνελθόντων ημίν ανδρών εν παντί χρόνω εν ώ εισήλθε και εξήλθεν εφ’ ημάς ο Κύριος Ιησούς, αρξάμενος από του βαπτίσματος Ιωάννου έως της ημέρας ής ανελήφθη αφ’ ημών, μάρτυρα της αναστάσεως αυτού γενέσθαι συν ημίν ένα τούτων. Και έστησαν δύο, Ιωσήφ τον καλούμενον Βαρσαββάν, ος επεκλήθη Ιούστος, και Ματθίαν, και προσευξάμενοι είπον˙ συ Κύριε, καρδιογνώστα πάντων, ανάδειξον ον εξελέξω εκ τούτων των δύο ένα, λαβείν τον κλήρον της διακονίας ταύτης και αποστολής, εξ ής παρέβη Ιούδας πορευθήναι εις τον

τόπον τον ίδιον. Και έδωκαν κλήρους αυτών, και έπεσεν ο κλήρος επί Ματθίαν, και συγκατεψηφίσθη μετά των ένδεκα Αποστόλων.

Πράξεων των Αποστόλων το Ανάγνωσμα

( Β' 14-21)

Εν ταις ημέραις εκείναις, σταθείς ο Πέτρος συν τοις ένδεκα επήρε την φωνήν αυτού και απεφθέγξατο αυτοίς˙ άνδρες Ιουδαίοι και οι κατοικούντες Ιερουσαλήμ άπαντες, τούτο ημίν γνωστόν έστω και ενωτίσασθαι τα ρήματά μου. Ου γαρ, ως υμείς υπολαμβάνετε, ούτοι μεθύουσιν, έστι γαρ ώρα τρίτη της ημέρας˙ αλλά τούτό εστί το ειρημένον δια του προφήτου Ιωήλ. «Και έσται εν ταις εσχάταις ημέραις, λέγει ο Θεός, εκχεώ από του πνεύματός μου επί πάσαν σάρκα, και προφητεύσουσιν οι υιοί υμών και αι θυγατέρες υμών, και οι νεανίσκοι υμών οράσεις όψονται, και οι πρεσβύτεροι υμών ενύπνια ενυπνιασθήσονται˙ και γε επί τους δούλους μου και επί τας δούλας μου εν ταις ημέραις εκείναις εκχεώ

από του πνεύματός μου, και προφητεύσουσι. Και δώσω τέρατα εν τω ουρανώ άνω, και σημεία επί της γης κάτω, αίμα και πυρ και ατμίδα καπνού˙ ο ήλιος μεταστραφήσεται εις σκότος και η σελήνη εις αίμα πριν ή ελθείν την ημέραν Κυρίου την μεγάλην και επιφανή. Και έσται πας ος αν επικαλέσηται το όνομα Κυρίου σωθήσεται.

Εις την Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'.

Κροτήσωμεν εν άσμασι σήμερον πιστοί, επί τη ενδόξω μνήμη των πανευφήμων Αποστόλων˙ ούτοι γαρ ως αετοί υπόπτεροι, διαδραμόντες πάσαν την υφήλιον, τα έθνη εκδιδάξαντες, εις επίγνωσιν είλκυσαν Θεού˙ όθεν εξήλθεν ο φθόγγος αυτών κατά τον ψαλμωδόν εις την οικουμένην άπασαν˙ και πρεσβεύουσιν υπέρ των ψυχών ημών.

Ο αυτός.

Ιησούς ο παντεπόπτης και ανέσπερος Ήλιος, ως αστέρας παμφαείς επαφήκεν υμάς, Απόστολοι

πανένδοξοι, τους εν σκότει της αγνωσίας καθημένους, φωταγωγούντας σοις διδάγμασι και προς την ουράνιον Βασιλείαν επανάγοντας. Διο αιτούμεν υμάς Δωδεκάς θεόλεκτε, του πρεσβεύειν υπέρ ημών, προς ον εν παρρησία νυν παρίστασθε.

Ήχος β'.

Δεύτε των πιστών το σύστημα, τους πνευματικούς αλιείς και μύστας της χάριτος, χαρμονικώς ευφημήσωμεν λέγοντες˙ Χαίρετε Δωδεκάς αγιόλεκτε, κήρυκες του λόγου διαπρύσιοι˙ χαίρετε τα θεία του Πνεύματος όργανα, και αυτόπται Χριστού πανεύφημοι Απόστολοι˙ αυτόν ικετεύσατε δεόμεθα, ειρήνην τω κόσμω δωρήσασθαι, και ταις ψυχαίς ημών το μέγα έλεος.

Ήχος δ'.

Σοφίαν ελληνικήν, τη αλιευτική φθογγή τελείως απεμωράνατε, θεηγόροι Κυρίου Απόστολοι, ιδιώται γαρ τω λόγω τυγχάνοντες, θείαν γνώσιν εν Χριστώ επλουτήσατε, και τω αγκίστρω του Σταυρού, ως εκ

βυθού θαλάσσης, τα έθνη προς θεογνωσίαν ζωγρήσαντες, των ειδώλων την πλάνην κατηργήσατε, και νυν εν Παραδείσω της τρυφής αυλιζόμενοι, αιτείσθε σωτηρίαν ταις ψυχαίς ημών.

Δόξα. Ήχος πλ. δ'.

Τω του Πνεύματος πυρί λαμπρυνθέντες Κυρίου Απόστολοι, υπέρ χρυσίον ωραιώθητε, οι δε πόδες εν τη τρίβω του Ευαγγελίου οδεύσαντες, υπέρ λίθον σάπφειρον αυγάζουσιν˙ όθεν ο μεν κόσμος φωτισμόν εδέξατο, η δε του Χριστού Εκκλησία, τοις ενθέοις υμών αρδευθείσα δόγμασι, γηθομένη βοά, λέγουσα˙ Κύριε, ταις των Αποστόλων σου λιταίς, παράσχου τοις πιστοίς ειρήνην σταθηράν, καταξιών αυτούς της Βασιλείας σου.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς από πάσης ανάγκης και θλίψεως.

Εις τον Στίχον, Στιχηρά προσόμοια.

Ήχος πλ. α’. Χαίροις ασκητικών.

Χαίροις η Δωδεκάς του Χριστού, των Αποστόλων η τερπνή και θεόλεκτος, του κόσμου η σωτηρία, οι οδηγοί προς Θεόν, και της οικουμένης οι διδάσκαλοι˙ του λόγου οι πρόμαχοι, αλιείς εμπειρότατοι, οι εκ θαλάσσης, απιστίας ελκύσαντες, έθνη άπαντα, τη σαγήνη της πίστεως, πλάκαι αι θεοάρακτοι, μαζοί οι εκβλύζοντες, της σωτηρίας το γάλα, και τους πιστούς διατρέφοντες, Χριστόν δυσωπείτε, ταις ψυχαίς ημών δοθήναι το μέγα έλεος.

Στίχος. Εις πάσαν την γην εξήλθεν ο φθόγγος αυτών και εις τα πέρατα της Οικουμένης τα ρήματα αυτών.

Χαίρετε νοητοί ουρανοί, δόξαν Κυρίου τοις βροντοίς διηγούμενοι, στερέωμα αναγγέλον, ποίησιν θείων χειρών, ήλιοι φαιδροί τε και αείφωτοι, αυγάζοντες πέρατα, τω φωτί θείας γνώσεως, πηγαί γλυκείαι, των δογμάτων της χάριτος, νόμοι ένθεοι, εκ Σιών εξερχόμενοι, κήρυκες διαπρύσιοι, Χριστού της

θεότητος, πάσι τοις πόθω τελούσι μνήμην υμών την πανσέβαστον, Χριστόν καταπέμψαι, ταις ψυχαίς ημών αιτείσθε το μέγα έλεος.

Στίχος. Οι ουρανοί διηγούνται δόξαν Θεού, ποίησιν δε χειρών αυτού αναγγέλλει το στερέωμα.

Χαίροις η ιερά και τερπνή, σεπτή χορεία, Αποστόλων η πάνσεπτος, ο Πέτρος ομού και Παύλος, η κορυφαία κρηπίς, Ιωάννης άμα και Ιάκωβος, Ανδρέας και Φίλιππος, και ο θείος Ιάκωβος, ο του Αλφαίου, και Ιούδας Θαδδαίος τε, Σίμων ένδοξος, και Θωμάς ο θεσπέσιος, θείος Βαρθολομαίος τε, Ματθαίος ο πάνσοφος, της Εκκλησίας οι στύλοι, οι του Χριστού φίλοι γνήσιοι, ημών οι προστάται, και του κόσμου  ευφροσύνη και αγαλλίασις.

Δόξα. Ήχος δ’.

Ευφραίνεται σήμερον φαιδρώς ο ουρανός, και η γη γηθομένη αγάλλεται, επί τη ενδόξω μνήμη, των κοσμοσώστων Αποστόλων˙ η γαρ παρούσα ημέρα, ου θύματα αλόγων, αλλά θυσίαν αινέσεως εξ ανθέων

πνευματικών καταστέφεται˙ διο και τω θείω φωτί νυν εν ουρανοίς ελλαμπόμενοι, δέησιν ποιούσιν υπέρ ημών, των την μνήμην αυτών εορταζόντων, την όντως αξιογέραστον.

Και νυν. Θεοτοκίον.

Νεύσον παρακλήσεων σων ικετών Πανάμωμε, παύουσα δεινών ημών επαναστάσεις, πάσης θλίψεως ημάς απαλλάττουσα˙ σε γαρ μόνην ασφαλή, και βεβαίαν άγκυραν έχομεν, και την σην προστασίαν κεκτήμεθα˙ μη αισχυνθώμεν Δέσποινα, σε προσκαλούμενοι˙ σπεύσον εις ικεσίαν των σοι πιστώς βοώντων˙ Χαίρε Δέσποινα, η πάντων βοήθεια, χαρά και σκέπη, και σωτηρία των ψυχών ημών.

Απολυτίκια.

Ήχος γ’. Την ωραιότητα.

Ως δεδεκάπυρσος, λυχνία έλαμψαν, οι δωδεκάριθμοι Χριστού Απόστολοι, Πέτρος και Παύλος συν Θωμά, Ανδρέας και Ιωάννης, Ιάκωβος και Φίλιππος και Ματθαίος, συν Σίμωνι, Αλφαίου ο Ιάκωβος και

Ιούδας, Ναθαναήλ, και ηύγασαν τους πίστει βοώντας˙ Χαίρετε του Λόγου οι αυτόπται.

Δόξα.

Απόστολοι Άγιοι, πρεσβεύσατε τω ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταις ψυχαίς ημών.

Και νυν. Θεοτοκίον.

Σε την μεσιτεύσασαν την σωτηρίαν του γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε˙ εν τη σαρκί γαρ τη εκ σου προσληφθείση, ο Υιός σου και Θεός ημών, το δια Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς εκ φθοράς, ως φιλάνθρωπος.

Και Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α’ Στιχολογίαν, το Κάθισμα.

Ήχος α’. Τον τάφον σου Σωτήρ.

Χορός πνευματικός, Αποστόλων τω κόσμω, εστάλη μυστικώς, εκ Θεού του Υψίστου, και φάρμακον τοις πάσχουσιν, οι ακέστορες ώφθησαν, τρία Άναρχα,

μοναδικώς εκβοώντες, θείαν σάρκωσιν, Εμμανουήλ του Κυρίου, σαφώς εδογμάτισαν.

Δόξα. Όμοιον.

Φωστήρες παμφαείς, ως οφθέντες τω κόσμω, φωτίζετε αυγαίς, την υφήλιον πάσαν, Απόστολοι πανένδοξοι, Πέτρε Παύλε Ιάκωβε, Ιωάννη τε, Ανδρέα άμα τοις πάσιν, όθεν σήμερον, χαρμονικώς εκτελούμεν, υμών την πανήγυριν.

Και νυν. Θεοτοκίον, όμοιον.

Την βάτον ήν Μωσής, ακατάφλεκτον, είδε, το όρος του Θεού, την αγίαν νεφέλην, σκηνήν την αμόλυντον, την θεόδεκτον τράπεζαν, το παλάτιον του υψηλού Βασιλέως, την ολόφωτον, και αδιόδευτον πύλην, Παρθένε υμνούμέν σε.

Μετά την β’ Στιχολογίαν, το Κάθισμα.

Ήχος γ’. Θείας πίστεως.

Θείαι σάλπιγγες του Παρακλήτου, ενηχούμεναι πνοή του Λόγου, την σωτηρίαν τω κόσμω ηχήσατε, και τους εν ζόφω της πλάνης καθεύδοντας, θεογνωσίας

προς φως αναστήσαντες, προσηγάγετε, τω θείω φωτί Απόστολοι˙ πρεσβεύσατε σωθήναι τας ψυχάς ημών.

Δόξα. Όμοιον.

Θείοι κήρυκες, του Θεανθρώπου, δωδεκάριθμοι Χριστού και μύσται, εκ πάσης βλάβης ημάς εκλυτρώσατε, ως παρρησίαν προς Κύριον έχοντες˙ κηρύξαντες αυτόν πάσιν έθνεσιν, πάντων Άνακτα, και Ποιητήν ον πρεσβεύσατε, δωρήσασθαι ημίν το μέγα έλεος.

Και νυν. Θεοτοκίον, όμοιον.

Θεία γέγονας, σκηνή του Λόγου, μόνη Πάναγνε Παρθενομήτορ, τη καθαρότητι Αγγέλους υπεράρασα˙ τον υπέρ πάντας, εμέ ουν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασιν, παρέχουσα Σεμνή, το μέγα έλεος.

Μετά τον Πολυέλεον, το Κάθισμα.

Ήχος δ'. Επεφάνης σήμερον.

Φωτοβόλοις λάμψεσιν, ώσπερ αστέρες, τα της γης πληρώματα, φωταγωγείτε διδαχαίς, του παναγίου κηρύγματος, ουρανομύσται Κυρίου Απόστολοι.

Δόξα. Όμοιον.

Φωτισθέντες ένδοξοι, φωτί τω θείω, ως Χριστού Απόστολοι, κατεδαφίσατε τους πριν, εσκοτισμένους τοις πάθεσι, και ασεβεία, διο μακαρίζεσθε.

Και νυν. Θεοτοκίον, όμοιον.

Προστασία άμαχε, των θλιβομένων, και θερμή αντίληψις, των πεποιθότων επί σε, από κινδύνων με λύτρωσαι, συ γαρ υπάρχεις, η πάντων βοήθεια.

Οι αναβαθμοί.

Το α' αντίφωνον του δ' ήχου. Εκ νεότητός μου.

Είτα το Προκείμενον ήχος δ'.

Εις πάσαν την γην εξήλθεν ο φθόγγγος αυτών και εις τα πέρατα της οικουμένης τα ρήματα αυτών.

Στίχος. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δε χειρών αυτού αναγγέλλει το στερέωμα.

Είτα το Πάσα πνοή.

Ευαγγέλιον, εκ του κατά Ιωάννην.

Είπεν ο Κύριος τοις εαυτοίς Μαθηταίς˙ εγώ ειμί η άμπελος.

(Ζήτει αυτό έν τη Παρασκευή της α' Εβδομάδος των Νηστειών).

Είτα ο Ν' Ψαλμός.

Δόξα. Ταις των Αποστόλων πρεσβείαις ελεήμον.

Και νυν. Ταις της Θεοτόκου πρεσβείαις.

Είτα ο Στίχος, Ελέησόν με ο Θεός.

Και το επόμενον ιδιόμελον.

Ήχος πλ. β'.

Εξεχύθη η χάρις εν χείλεσιν υμών, Απόστολοι του Χριστού πανένδοξοι˙ και γεγόνατε κήρυκες, εις τα πέρατα της οικουμένης, διδάσκοντες τα έθνη και τους πάντας, του πιστεύειν Θεόν φανερωθέντα εν σαρκί, Ιησούν Χριστόν τον μόνον Κύριον.

Είτα, δύο Κανόνες, ανά δ’, εις η’.

Ωδή α’. Κανών α’. Ου η ακροστιχίς:

Χριστού γεραίρω τους σοφούς Αποστόλους.

Ήχος δ’. Θαλάσσης το ερυθραίον.

Χορείαν, των Αποστόλων μέλπειν μοι, προθυμουμένω Χριστέ, ταις ικεσίαις τούτων ως Θεός, την ακτίνα του Πνεύματος του Παναγίου δώρησαι, και την λαμπάδα της σοφίας σου.

Ρωσθέντες, ρώμη τη ση και χάριτι, Χριστέ την δύναμιν, των εναντίων έθραυσαν εχθρών, οι σεπτοί σου Απόστολοι, θεοειδείς γενόμενοι, ταις ανενδότοις προς σε νεύσεσιν.

Ιάσεις, επιτελούντες Δέσποτα, τω σω ονόματι, τα των εθνών συστήματα τη ση, επιγνώσει εζώγρησαν, οι ευκλεείς Απόστολοι, και τω φωτί σου κατελάμπρυναν.

Σοφία μαθητευθέντες ένδοξοι, Χριστού Απόστολοι, τη ουρανίω πάσαν προφανώς, των σοφών εμωράνατε, πολυλογίαν άχρηστον, τη συντονία του κηρύγματος.

Θεοτοκίον.

Τριάδος, της Υπερθέου Πάναγνε, τον Ένα τέτοκας, εκ σου σαρκί φανέντα καθ’ ημάς, ευδοκία του φύσαντος, και συνεργεία Πνεύματος, του Παναγίου Μητροπάρθενε.

Κανών β’.

Ήχος πλ. δ’. Αρματηλάτην Φαραώ.

Μαρμαρυγαίς του Παναγίου Πνεύματος, καταλαμφθέντες σοφοί, εν τω υπερώω, πάνσοφοι Απόστολοι, ως αετοί υπόπτεροι, εις τον σύμπαντα κόσμον, διαδραμόντες το κήρυγμα, του Ευαγγελίου εφάνατε.

Γόνε βροντής ηγαπημένε πρόκριτε, ώ Ιωάννη σοφέ, συν τω Ιακώβω, Ανδρέα πρωτόκλητε, Θωμά Ματθαίε Φίλιππε, και Ιάκωβε Σίμων, συν τοις λοιποίς δυσωπήσατε, υπέρ των βροτών προς τον Κύριον.

Δόξα.

Ρητορευόντων τας πλοκάς ελύσατε, λόγου απλότητι, και βωμούς ειδώλων, άρδην ηδαφίσατε, Απόστολοι

πανένδοξοι, Μάρκε Βαρθολομαίε, Λουκά Θαδδαίε Ματθία τε, όθεν υμάς πόθω γεραίρομεν.

Και νυν.

Ιδού η κλίνη Σολομών η ένδοξος, η λογική κιβωτός, του παμβασιλέως, Χριστού του Θεού ημών, δορυφορείται τάξεσιν, ουρανίων Αγγέλων, πάντων Αγίων τοις δήμοις τε, Μήτηρ του Θεού ως Βασίλισσα.

Ωδή γ'. Κανών α'.

Ήχος δ'. Ευφραίνεται επί σοι.

Ουράνια και σεπτά, θεηγορούντες επί γης δόγματα, γλώσσαις πυρός φθεγγόμενοι, κήρυκες Χριστού παρεδώκατε.

Υπέδειξας ουρανούς, τους Μαθητάς σου λογικούς Δέσποτα, δόξαν την σην άπασιν, εκδιηγουμένους τοις πέρασι.

Γραφέντες εν ουρανοίς, και δεδειγμένοι του Χριστού σύσκηνοι, τους νυν υμάς πάνσοφοι, σέβοντας προθύμως φρουρήσατε.

Θεοτοκίον.

Εσκήνωσεν εν ημίν, ο εν υψίστοις κατοικών Πάναγνε, άνευ σποράς γαρ, εκ σου προσλαβών πεφανέρωται.

Κανών β'.

Ήχος πλ. δ'. Ο στερεώσας κατ' αρχάς.

Εκ φωτοδότιδος πηγής, της απροσίτου Τριάδος, φωτισμόν σωτηριώδη θεόπται, ανελκύσαντες σαφώς, κόσμον καταφαιδρύνατε, Δώδεκα θείοι Μύσται, Χριστού τον ζόφον ελάσαντες.

Πόθω Ιάκωβον πιστοί, τον αδελφόν του Κυρίου, και Ιούδαν Συμεών και τους τούτων, αδελφούς χρεωστικώς, και τον Λουκάν τιμήσωμεν, Μάρκον τε συγγραφέας, Ευαγγελίου και κήρυκας.

Δόξα.

Ωδάς επάγει σοι πιστών η θεοσύλλεκτος ποίμνη[2], γηθομένη Δωδεκάδι κηρύκων, Αποστόλων σου Χριστέ, κατατρυφώσα θαύμασιν, εκ της αυτών εικόνος, της σεβασμίου φιλάνθρωπε.

Και νυν.

Από της γης εις ουρανούς, ανήγαγες τους ανθρώπους, τω γαρ τόκω σου ηνοίγησαν Κόρη, ημίν πύλαι ουρανού, ας ο Αδάμ απέκλεισε, και Θεός εν γη ώφθη, εις ουρανόν δε ο άνθρωπος.

Είτα το Κάθισμα.

Ήχος δ'. Ο υψωθείς εν τω Σταυρώ.

Κατοικισθέντες εν φωτί απροσίτω, ως οικητήρια φωτός πεφυκότες, οίκον υμών τον άγιον φωτίζετε αεί, θείαις προσφοιτήσεσιν˙ όθεν πίστει βοώμεν, σκότους ημάς ρύσασθε, και παντοίων κινδύνων, και χαλεπών εθνών επιδρομής εκδυσωπούντες τον Κτίστην Απόστολοι.

Δόξα. Όμοιον.

Τους Αποστόλους του Χριστού χαρμοσύνως, ανευφημήσωμεν πιστών αι χορείαι, ότι αυτόν εκήρυξαν εν πάση τη γη Θεόν τε και άνθρωπον και Δεσπότην των όλων, πάσαν καταργήσαντες, διαβόλου

την πλάνην, και εκτενώς πρεσβεύουσιν αεί, υπέρ ημών των τιμώντων αυτούς.

Και νυν. Θεοτοκίον, όμοιον.

Μετά Θεόν επί την σην Θεοτόκε, προσπεφευγώς ο ταπεινός θείαν σκέπην, παρακαλώ δεόμενος ελέησον Αγνή˙ ότι υπερήράν μου κεφαλήν ανομίαι, και πτοούμαι Δέσποινα, τας εκείθεν κολάσεις. Ικετηρίαν ποίησον Αγνή, προς τον Υιόν σου, εκ τούτων ρυσθήναί με.

Ωδή δ’. Κανών α’.

Ήχος δ’. Επαρθέντα σε ιδούσα.

Ρημάτων θείων ο φθόγγος των Αποστόλων, πυρσοφανώς διήλθε, την οικουμένην πάσαν, πλάνης μεν την ύλην εμπιπρών, φωτίζων δε χάριτι, τα των ευσεβούντων συστήματα.

Αμαυρωθέντα τω ζόφω της ασεβείας, θεοφεγγείς φωστήρες, οι Μαθηταί φανέντες, κόσμον κατελάμπρυναν, ακτίσι της χάριτος, και μαρμαρυγαίς του κηρύγματος.

Ιερωτάταις λαμπάσιν ηγλαϊσμένοι, του νοητού ηλίου, ως αστέρες τον κόσμον, λάμπετε πανόλβιοι φωτί της Θεότητος, πλάνης την αχλύν εκδιώκοντες.

Ράβδον δυνάμεως έχοντες τον Σταυρόν σου, την αλμυράν του βίου, οι αυτόπται σου Λόγε, θάλασσαν διέτεμον, ως ίπποι ταράσσοντες, της πολυθεΐας τα κύματα.

Θεοτοκίον.

Ωραϊσμένος ποικίλη φωτοχυσία, ο ουρανός ο έμψυχος, σου του Βασιλέως, των βασιλευόντων Χριστέ, Παρθένος η άχραντος, νυν ως Θεοτόκος δοξάζεται.

Κανών β’.

Ήχος πλ. δ’. Συ μου ισχύς, Κύριε.

Ώσπερ λαμπροί, αστέρες όντως αείφωτοι, θείω φέγγει, ένδοξοι αστράπτετε, εν στερεώματι νοητώ, τω της Εκκλησίας, και τας ψυχάς καταυγάζετε, Απόστολοι Κυρίου, δωδεκάριθμοι πάντων, των υμάς ευφημούντων μακάριοι.

Άσμασι νυν, τους Αποστόλους τιμήσωμεν, Πέτρον Παύλον, Ανδρέαν Ιάκωβον, και Ιωάννην φίλον Χριστού, Σίμωνα Ματθαίον, και Φίλιππον και Ιάκωβον, Θωμάν και τον Ματθίαν, θεηγόρους Κυρίου Μαθητάς και προμάχους της πίστεως.

Δόξα.

Δεύτε πιστοί, τους Διακόνους υμνήσωμεν, εξαρίθμους, Στέφανον τον πρώταθλον, συν τω Προχόρω τους ιερούς, Φίλιππον συν τούτω, Νικάνορα, και τον Τίμωνα και Παρμενάν, και πάντας τους του Κυρίου Αποστόλους και συμμύστας και κήρυκας σήμερον.

Και νυν.

Ο του Θεού, λαμπρός και έμψυχος θάλαμος, παρθενίας, κάλλει φαιδρυνόμενος, φαιδραίς ακτίσι της παμφαούς, θεογενεσίας, φωταγωγεί την υφήλιον, και τας υπερκοσμίους, όλας Δυνάμεις αγλαΐζει, και αυγάζει την κτίσιν την σύμπασαν.

Ωδή ε'. Κανών α'.

Ήχος δ'. Συ Κύριέ μου φως.

Τους θείους σου Χριστέ, και πανσόφους θεράποντας, φως έδειξας εν τω κόσμω, σε το άδυτον φέγγος, τοις πάσι καταγγέλλοντας.

Οι πάσαν αρετήν, προφανώς εξασκήσαντες, Απόστολοι της ποικίλης, των δαιμόνων κακίας, τους βρόχους διελύσατε.

Υπέφηναν ημίν, της Τριάδος την έλλαμψιν, Θεότητος εν Μονάδι, οι πυρίναις εν γλώσσαις, φθεγγόμενοι Απόστολοι.

Θεοτοκίον.

Σε όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα˙ σε άγκυραν και ελπίδα, της ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Κανών β'.

Ήχος πλ. δ'. Ίνα τί με απώσω.

Στολισθέντες ερίοις, ώσπερ αμνοί άμωμοι του Αρχιποίμενος, Μαθηταί Κυρίου, τον σωτήριον λόγον

εσπείρατε, και τα έθνη πάντα, καρποδοτείτε τω Δεσπότη, αφθαρσίας καρπούς παμμακάριστοι.

Μαθηταί και αυτόπται, Λόγου Αρχιποίμενος θεομακάριστοι, δυσωπούμεν πάντας, του πρεσβεύειν απαύστως προς Κύριον, υπέρ των τιμώντων, υμών την μνήμην την αγίαν, θεηγόροι Χριστού μου Απόστολοι.

Δόξα.

Η παρούσα ημέρα, μνείαν άγει εύσημον των Αποστόλων Χριστού, της δωδεκαρίθμου, θεολέκτου χορείας εν άσμασιν, ους εν εφυμνίοις, ωδαίς τιμώντες επαξίως, τον δοξάσαντα τούτους δοξάζομεν.

Και νυν.

Όμβρου θείου νεφέλη, γέγονας Πανάμωμε οία βαστάζουσα, σωτηρίας ύδωρ, και την γην χερσωθείσαν εγκλήμασι, προς καρποφορίαν, μεταγαγούσα ευσεβείας, δια τούτο πιστώς σε δοξάζομεν.

Ωδή ϛ’. Κανών α’.

Ήχος δ’. Θύσω σοι μετά φωνής.

Στηρίξας, τους Μαθητάς σοφία και θαύμασι, δυνατωτέρους ειργάσω, της Ελλήνων Σώτερ ερεσχελίας, και τα τούτων, απατηλά κατήργησας δόγματα.

Οι θείοι ποταμοί της σοφίας επλήρωσαν, των σωτηρίων ναμάτων, τας κοιλάδας πάσας της Εκκλησίας, σωτηρίου, εκ των πηγών τα ρείθρα πλουτήσαντες.

Φανέντες ζωτικοί ως αστέρες πανόλβιοι, διεσκεδάσατε πάσαν, την ζοφώδη πλάνην ταις φωτοβόλοις, λαμπηδόσι, θεογνωσίας φέγγος αστράπτοντες.

Θεοτοκίον.

Όλην σε, την πλησίον καλήν τε και άμωμον, και καθαρόν ευρών κρίνον, και κοιλάδων άνθος ώ Θεομήτορ, ο Νυμφίος, ο νοητός εν σοι κατεσκήνωσεν.

Κανὼν β’.

Ἦχος πλ. δ’. Ιλάσθητί μοι Σωτήρ.

Πέτρον και Παύλον τιμώ, της δωδεκάδος εξάρχοντας, των Αποστόλων Χριστού, συν τούτοις Ιάκωβον, και τον τούτου σύγγονον, Ιωάννην φίλον, του Χριστού και επιστήθιον.

Τον Φίλιππον και Θωμάν, Ανδρέαν Σίμωνα μέλψωμεν, Βαρθολομαίον πιστοί, Ματθαίον Ιάκωβον, και άλλον Ιάκωβον, Ιούδα Ματθίαν, τους θεόπτας τε και κήρυκας.

Δόξα.

Θαδδαίος συν τω Λουκά, Βαρνάβας Μάρκος και Στέφανος, Νικάνωρ και Παρμενάς και Πρόχορος άσμασι, τιμάσθωσαν Φίλιππος, συν τω Ανανία οι Χριστού σοφοί Απόστολοι.

Και νυν.

Συνείληφας αληθώς, τον θείον Λόγον εν μήτρα σου, και τούτον υπερφυώς, Πανάμωμε τέτοκας˙ ον λιταίς

ιλέωσαι, υπέρ των κυρίως, Θεοτόκον ανυμνούντων σε.

Κοντάκιον.

Ήχος πλ. δ’. Τη υπερμάχω.

Τους Αποστόλους του Χριστού ανευφημήσωμεν, Πέτρον και Παύλον Ιωάννην και τους άπαντας, τους κηρύξαντας τον λόγον της αληθείας, και ελκύσαντας τα έθνη προς επίγνωσιν, της Χριστού Θεού ημών θείας σαρκώσεως, τούτοις κράζοντες˙ Χαίρεται θείοι Απόστολοι.

Ο Οίκος.

Άγγελοι ουρανόθεν, κατεπλάγησαν όντως, την τόλμην των σοφών Αποστόλων˙ ούτοι γαρ τη Χάριτι Χριστού, άπαντα τον κόσμον κατεφώτισαν, και προς την επίγνωσιν Θεού εχειραγώγησαν, διο και προς αυτούς βοώμεν τοιαύτα.

Χαίρε των Αποστόλων Πέτρε ο πρόκριτος,

Χαίρε των διδασκάλων Παύλε ο μέγιστος.

Χαίρε Ανδρέα ένδοξε ο Πρωτόκλητος οφθείς,

Χαίρε Ιωάννη Πάνσοφε Θεολόγων η κρηπίς.

Χαίρε Ζεβεδαίου Ιάκωβε άγιε,

Χαίρε Ματθαίε λυχνία ολόφωτε.

Χαίρε Φίλιππε μάκαρ ευσεβείας εκφάντορ,

Χαίρε Βαρθολομαίε θείε ιεροφάντορ.

Χαίρε θείε Σίμων ζηλωτά Απόστολε,

Χαίρε του Αλφαίου ο γόνος Ιάκωβε.

Χαίρε Θωμά ο καλούμενος Δίδυμος,

Χαίρε Ιούδα φωστήρ ο πολύφωτος˙

Χαίρετε θείοι Απόστολοι.

Συναξάριον.

Τη Λ’ (30η ) του μηνός Ιουνίου σύναξιν επιτελούμεν προς τιμήν των Αγίων ενδόξων και πανευφήμων Δώδεκα Αποστόλων, ων τα ονόματα εισίν˙ Πέτρος, Παύλος, Ανδρέας, Ιωάννης, Ιάκωβος, Ματθαίος, Φίλιππος, Ναθαναήλ, Θωμάς, Ιάκωβος, Σίμων και Ιούδας ο υιός Ιακώβου.

Στίχοι

Τιμώ Θεόπτας δώδεκα Χριστού φίλους.

Ήρωας άνδρας, και θεούς τολμώ λέγειν.

Δώδεκα ευκλεέας τριακοστή αγείρει μύστας.

Ταις των δωδεκαρίθμων και πανευφήμων Αποστόλων πρεσβείαις, Χριστέ ο Θεός, ελέησον και σώσον ημάς. Αμήν.

Ωδή ζ’. Κανών α’.

Ήχος δ’. Εν τη καμίνω.

Υιοθετήσας, τους Μαθητάς σου πριν ο φύσει Υιός, θέσει κληρονόμους έδειξας πατρικής, κληρουχίας υπεράγαθε, και συνεδρεύειν σοι, ως Θεός και Δεσπότης ηυδόκησας.

Σοφίας χύμα, καρδίας πλάτος, γλώσσαν εύλαλον, Λόγε παρασχών τοις θείοις σου Μαθηταίς, εξαπέστειλας κηρύττοντας, το Ευαγγέλιον της βασιλείας πάσι τοις έθνεσιν.

Αναφανέντες, ώσπερ νεφέλαι πλήρεις θείου φωτός, πάσιν επομβρίζουσιν ύδωρ ζωοποιόν, οι Απόστολοι κραυγάζοντες˙ ευλογημένος ει, εν τω Ναώ της δόξης σου Κύριε.

Θεοτοκίον.

Πεποικιλμένη τη θεία δόξη ώφθης Άχραντε, μόνη εξ αιώνος Λόγον τον του Πατρός, δεξαμένη Μητροπάρθενε˙ Ευλογημένη συ εν γυναιξίν, υπάρχεις πανάμωμε Δέσποινα.

Κανών β'.

Ήχος πλ. δ'. Θεού συγκατάβασιν.

Χορός ο πανέντιμος, των Αποστόλων η Δωδεκάς η σεπτή, ιεραίς ευφημίαις, ανευφημείσθω χρεωστικώς παρ' ημών, ως σωτηρίας πιστών όντες πρόξενοι, και οικουμένης κριταί και πορθμευταί των εθνών.

Υπόθεσις γέγονεν, η υμών μνήμη πάσι πιστοίς εορτής, θεηγόροι Κυρίου, θεομακάριστοι θείοι Απόστολοι, ήν συνελθόντες εκ πόθου γεραίρομεν, και ανυμνούμεν υμάς, εν ευφροσύνη ψυχής.

Δόξα.

Αγγέλων τα τάγματα, και των αγίων χοροί συνάχθητε, και εις εν συνελθόντες των Αποστόλων την μνήμην

την πάντιμον, πνευματικοίς εγκωμίοις γεραίροντες, τον ευεργέτην Θεόν, τον των Πατέρων ημών.

Και νυν.

Απάντων επέκεινα, ο Υιός και Λόγος του προανάρχου Πατρός, σος Υιός καθωράθη, Θεογεννήτορ καθώς ηυδόκησε, δια το σώσαι τους πίστει κραυγάζοντας, ευλογητός ο Θεός, ο των Πατέρων ημών.

Ωδή η'. Κανών α'.

Ήχος δ'. Χείρας εκπετάσας Δανιήλ

Ο θείος και πάνσοφος χορός, των Αποστόλων Χριστού, πυρί του Πνεύματος, ως ύλην εύπρηστον έφλεξε, των δαιμόνων τα σεβάσματα, και τας καρδίας των πιστών εφωταγώγησε, των βοώντων˙ πάντα τα έργα υμνείτε τον Κύριον.

Συμφώνως τους θείους Μαθητάς, και Αποστόλους Χριστού, τους τα ουράνια ημίν βροντήσαντας δόγματα, τους λειμώνας τους της πίστεως, τους ευεργέτας τους κοινούς της ανθρωπότητος, του Σωτήρος, τους υπηρέτας εν ύμνοις τιμήσωμεν.

Τα πάνσεπτα και χωρητικά, δοχεία του φωτός, τας των βροτών απαρχάς, τας του κηρύγματος σάλπιγγας, τους χειμάρρους της αφθάρτου ζωής, τας θεοφόρους αστραπάς, τας ιαμάτων πηγάς, τους ωραίους πόδας του Ευαγγελίου τιμήσωμεν.

Θεοτοκίον.

Ο πλήρης κενούται δι' ημάς, ίνα πληρώσεως, αυτού μετάσχωμεν˙ την γαρ πανάχραντον μήτραν σου, υποδύς ο απερίληπτος, των πατρικών ουκ αποστάς κόλπων σεσάρκωται˙ όθεν πάντες, σε ευλογούμεν, Μαρία Θεόνυμφε.

Κανών β'.

Ήχος πλ. δ'. Επταπλασίως κάμινον.

Η δωδεκάς η πάντιμος, Πέτρε Παύλε Ιάκωβε, και Βαρθολομαίε και Θωμά και Φίλιππε, Ανδρέα Ιάκωβε, και Ιωάννη φίλε Χριστού, Σίμων και Θαδδαίε, παμμακάριστοι θείοι, και μέγιστε Ματθαίε, συν τοις αδελφοθέοις, πρεσβεύσατε απαύστως, υπέρ ημών τω Κτίστη.

Οι των Αγγέλων σήμερον, θείοι δήμοι ευφραίνονται, άμα τοις βροτοίς, φαιδρώς πανηγυρίζοντες. Απόστολοι ένδοξοι και Μαθηταί θεόφρονες, επί τη ενδόξω και σεπτή υμών μνήμη, ήν πόθω ευφημούμεν, μελωδούντες συμφώνως, λαός υπερυψούτε, Χριστόν εις τους αιώνας.

Δόξα.

Μίαν αρχήν θεότητος, μίαν φύσιν ασύγχυτον, εν τρισί προσώποις, επί γης κηρύξαντες, θεόπται Απόστολοι, εις ουρανούς ανήλθετε, των σωματικών, ήδη λυθέντων εσόπτρων, συν πόθω καθορώντες, το αμήχανον κάλλος, τρισάγιόν τε ύμνον, βοώντες εις αιώνας.

Και νυν.

Ως του Θεού Μητέρα σε, ομοφρόνως δοξάζομεν, και των ποιημάτων, υπερτέρα Πάναγνε, εν σοι γαρ κατάκριμα, το εξ Αδάμ ηφάνισται, και η απωσθείσα, ωκειώθη ανθρώπων, ουσία μελωδούσα˙ ιερείς

ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Η Τιμιωτέρα, εις Ήχον δ’.

Είτα επισυνάπτομεν την θ’ Ωδήν μετά των Μεγαλυναρίων.

Κανών α’. Ήχος δ’. Λίθος αχειρότμητος.

Μεγαλυνάριον.

Συνεορτάζει ο κόσμος εν τη μνήμη, των Αγίων Αποστόλων σου Χριστέ μου.

Λύειν τας σειράς των πταισμάτων, την εξουσίαν ειληφότες, παρά του Δεσπότου θεόπται, τας αμαρτίας των ανυμνούντων υμάς, ευσπλάγχνως εξαλείψατε και σωτηρίας αξιώσατε.

Αγαλλιάσθω η κτίσις και σκιρτάτω, νυν τη μνήμη σου, Δωδεκάς Χριστού θεία.

Όλην την του Πνεύματος αίγλην, ουσιωδώς υμίν φανείσαν, πάντες υπεδέξασθε Σοφοί, εν υπερώω μυσταγωγούμενοι, τα υψηλά διδάγματα, και νυν αξίως μακαρίζεσθε.

Πανηγυρίζει η κτίσις και δοξάζει, υμάς σήμερον, τους σοφούς Αποστόλους.

Υμίν ο Χριστός νυν τοις φίλοις, αναπαυσαμένοις βραβεύει, τους αμαραντίνους στεφάνους, και θεωρίας θείας εμπίπλησιν˙ όνπερ νυν δυσωπήσατε, τας Εκκλησίας διασώσασθαι.

Σε μεγαλύνει, Θεοτόκε η κτίσις, η αόρατος, και ορατή τε πάσα.

Σαρκί επιδημήσαι θελήσας, ο διακοσμήσας πάντα Λόγος, εν σοι κατεσκήνωσε μόνην, αγιωτέραν πάντων ευράμενος, και Θεοτόκον έδειξεν, επ’ αληθείας θεονύμφευτε.

Κανών β’.

Ήχος πλ. δ’. Εξέστη επί τούτω.

Μεγαλυνάριον.

Μεγάλυνον ψυχή μου, τους δωδεκαρίθμους, πύργους της Εκκλησίας, ενδόξους Αποστόλους.

Ώ μύσται των αρρήτων και υπουργοί, αναπτάντες, τον θρόνον τον άστεκτον, ως και υμείς, μέλλετε

καθέζεσθαι ως κριταί, της οικουμένης ένδοξοι, θρόνοις επί δώδεκα ως υμίν, υπέσχετο ο Λόγος, συγχώρησιν πταισμάτων, και ιλασμόν ημίν πρεσβεύσατε.

Μεγάλυνον ψυχή μου, τους την οικουμένην φωτίσαντας φωστήρας, πανσόφους Αποστόλους

Ου σθένει γλώσσα όντως ανευφημείν, παμμακάριστοι θείοι Απόστολοι, υμάς ως δει, αλλά πάλιν οίδα πως η υμών, φιλανθρωπία δέχεται, εις γυμνήν προαίρεσιν της ψυχής˙ διο δέξασθε ταύτα, τα άσματα θεόπται, και σωτηρίαν μοι βραβεύσατε.

Δόξα.

Μεγάλυνον ψυχή μου, τους της αρχιφώτου Θεότητος λαμπτήρας, πανσόφους Αποστόλους.

Η θεία Αποστόλων πανευκλεής, δωδεκάς Πέτρε Παύλε Ιάκωβε, φίλε Χριστού, θείε Ιωάννη μάκαρ Θωμά, Ανδρέα Σίμων Φίλιππε, Ματθαίε Θαδδαίε θαυματουργέ, Βαρθολομαίε άμα, συν θείω Ιακώβω, υπέρ ημών Χριστώ πρεσβεύσατε.

Και νυν.

Μεγάλυνον ψυχή μου, την Δέσποιναν του κόσμου και Αποστόλων κλέος, Μαρίαν Θεοτόκον.

Σιών αγία έμψυχε κιβωτέ, Θεού πόλις περί ης λελάληνται θεοπρεπή, και δεδοξασμένα και θαυμαστά, της αδοξίας ρύσαί με, των πλημμελημάτων μου των πολλών, και σώσόν με δι' οίκτον, τον σε δοξολογούντα, ως εφικτόν Θεογεννήτρια.

Εξαποστειλάρια.

Ήχος β'. Των Μαθητών ορώντων σε.

Των Μαθητών την πάντιμον δωδεκάδα, χαρμονικώς συνδράμωμεν ευφημήσαι˙ χαίρετε την σύμπασαν κυκλώσαντες, και των εθνών ζωγρήσαντες, τας κακοπίστους αγέλας, μαθητευθέντων τα θεία.

Θεοτοκίον, όμοιον.

Των Αποστόλων κήρυγμα Θεοτόκε, τον σον Υιόν δυσώπησον υπέρ πάντων, των αληθώς φρονούντων σε

Θεοτόκον, και τας αιρέσεις σκέδασον, και καταξίωσον πάντας, της ουρανών Βασιλείας.

Εις τους Αίνους.

Ιστώμεν Στίχους δ’ και ψάλλομεν τα παρόντα Στιχηρά προσόμοια.

Ήχος δ’. Ο εξ υψίστου κληθείς.

Ο εκ Πατρός δηλωθείς τον Θεόν Λόγον, τίνα με νομίζεται διερωτώντι Χριστώ, συ ο του ζώντος Πατρός Υιός, ως πάντων στόμα, θεηγορών ευθύς ανεκήρυξας˙ διο και μακάριος ει Σίμων Βαρ Ιωνά, αντιμισθίαν κεκλήρωσαι, και γαρ δοξάζει Θεός τους πίστει τούτον δοξάζοντας, και προς επάθλων δε δαψίλειαν, καλών και πέτραν εν σοι ακαταίσχυντον, Εκκλησίας την έδραν, ο θεμέλιος επήξατο.

Ο εκ κοιλίας μητρός αφωρισμένος, υλώδους εμφάσεως, βάρος απάσης φυγών, ανεπτερώθης τω έρωτι, όντως της θείας, Παύλε αγάπης προς ύψος ένθεον, ένθα τον υπέρφωτον, γνόφον του θείου φωτός, υπεισελθών ως τις άσαρκος, την των αρρήτων,

κατεπλουτίσθης ρημάτων μύησιν, και απεστάλης τοις εν σκότει συ, φως μηνύων Χριστόν τον Θεόν ημών, ον ικέτευε σώσαι και φωτίσαι τας ψυχάς ημών.

Η δωδεκάς των πανσόφων Αποστόλων, τα πάντα κατέλιπες και ηκολούθησας, τω Διδασκάλω πανένδοξοι, μέχρι θανάτου, εν προθυμία αυτώ επόμενοι, την κτίσιν δε σύμπασαν, ως δωδεκάπυρσοι, διαδραμόντες το κήρυγμα, του θείου λόγου, εγκατασπείραντες εφωτίσατε, τα έθνη πάντα διδαχαίς υμών, όθεν πάντες αεί μακαρίζομεν, και τιμώμεν εκ πόθου, την λαμπράν υμών πανήγυριν.

Πέτρον και Παύλον Ιάκωβον Ανδρέαν, Φίλιππον τον ένδοξον, Βαρθολομαίον Θωμάν, και Ιωάννην Ιάκωβον τον του Αλφαίου και συν Ματθαίω τω θεοκήρυκι˙ Θαδδαίον τον πάνσοφον, και Σίμωνα ζηλωτήν, και τον Ματθίαν τιμήσωμεν, τους Αποστόλους, ως του Δεσπότου φίλους υπάρχοντας, δι’ ών το φέγγος επεγνώκαμεν, της Τριάδος και

σκότους ερρύσθημεν, αγνωσίας οι τούτων, πειθαρχήσαντες τοις δόγμασιν.

Δόξα. Ήχος πλ. δ'. Κοσμά, Μοναχού.

Ήν διήλθετε κτίσιν φωτίσαντες, οι του Σωτήρος Μαθηταί την πλάνην των ειδώλων, ως ύλην καταφλέξαντες, τοις διδάγμασιν υμών, τα έθνη εξ αγνωσίας βυθού, προς την θείαν γνώσιν, σαγηνεύσαντες, εσώσατε, και νυν πρεσβεύσατε Χριστώ, όπως ίλεως γένηται ημίν, εν τη ημέρα της κρίσεως.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς από πάσης ανάγκης και θλίψεως.

Δοξολογία Μεγάλη και Απόλυσις.

Εις την Λειτουργίαν, τα Τυπικά και εν τοις Μακαρισμοίς, ο α' Κανών της γ' Ωδής και ο β' Κανών της ς' Ωδής.

Και εφεξής η θεία Λειτουργία.

Κοινωνικόν.

Εις πάσαν την γην εξήλθεν ο φθόγγος αυτών και εις τα πέρατα της οικουμένης τα ρήματα αυτών.